# ΕΝΩΣΑΤΕ ΤΟ ΠΑΡΕΛΘΟΝ ΜΕΤΑ ΤΟΥ ΠΑΡΟΝΤΟΣ

Μία ἐνιαύσιος πορεία ἐκφαίνουσα τὴν διὰ τῶν αἰώνων ἀδιάλειπτον συνέχειαν τοῦ ἀρχαίου ἑλληνικοῦ κόσμου!

2024

PeopleCert

ΗΜΕΡΟΛΟΓΙΟΝ

# ΕΥΧΟΜΕΘΑ ΥΜΙΝ ΕΥΤΥΧΕΣ ΚΑΙ ΕΥΗΜΕΡΟΥΝ 2024!



Ὅπως ἐνιαυτὸν ἀνακαλύψητε σοφίᾳ ἀειχρόνῳ τῆς ἀρχαίας Ἑλλάδος, διερευνᾶτε τὰς ἰδιαιτέρας ἑορτὰς ἑκάστου μηνός.

Ἀσπάζεσθε τὸν πλοῦτον τῶν ἀρχαίων ἐθῶν, ὡς πορεύησθε ἐτησίως καὶ συνάπτητε τὸ παρελθὸν μετὰ τοῦ παρόντος διὰ τῆς δημιουργικῆς ἐνσωματώσεως αὐτῶν ἐν τῇ καθημερινῇ ζωῇ ὑμῶν.

Ἔστω ὁ ἐνιαυτὸς ὑμῶν πλήρης χαρμοσύνων ἑορτῶν καὶ εὐδαιμονίας!

PeopleCert

# Τὰ Διονύσια

**Ἔγνως;**

*Τὰ Διονύσια (ἱερὰ) ἑορτὴ ἀνατιθεμένη τῷ θεῷ Διονύσῳ, τῷ θεῷ τοῦ οἴνου, ἣν ὁ ἀκρογωνιαῖος λίθος, αἱ κρηπῖδες τοῦ ἀρχαίου ἑλληνικοῦ πολιτισμοῦ. Ἐν δὲ ταύτῃ τῇ ἑορτῇ ἐγίγνοντο δραματικοὶ ἀγῶνες ἐπιδεικνύντων τῶν ποιητῶν τὰ αὑτῶν δράματα, θέντων τε τὰ τοῦ ἕως καὶ νῦν ζῶντος θεάτρου θεμέλια.*

**Πρᾶξον**

Ἄρξασθε τοῦ νέου ἔτους μετέχοντες τῆς τοῦ ἀρχαίου πνεύματος περιπετείας. Δύναισθε δ΄ ἂν ἐν τούτῳ τῷ μηνὶ ἐφευρεῖν δραματικοὺς ἀγῶνας, ἔνθα οἰκεῖτε, ἰδεῖν ταινίας καὶ ἀνακαλύψαι τὸν τῆς ψυχαγωγίας θαυμαστὸν κόσμον.

**Μάθε**

θέατρον < theatre

## ΙΑΝΟΥΑΡΙΟΣ 01

| Κ | Δ | Τ | Τ | Π | Π | Σ |
|---|---|---|---|---|---|---|
| 31 | 1 Πρωτοχρονιά | 2 | 3 | 4 | 5 | 6 |
| 7 | 8 | 9 | 10 | 11 | 12 | 13 |
| 14 | 15 | 16 | 17 | 18 | 19 | 20 |
| 21 | 22 | 23 | 24 Ἡμέρα Παιδείας | 25 | 26 | 27 |
| 28 | 29 | 30 | 31 | 1 | 2 | 3 |



# Τὰ Ἀνθεστήρια, ἡ ἑορτὴ τῶν ἀνθέων

**Ἔγνως;**

*Τὰ Ἀνθεστήρια (ἱερὰ) ἦν ἑορτὴ ἀγομένη μηνὶ Ἀνθεστηριῶνι. Ἐπειδὴ δὲ ἡ γῆ τότε ἄρχεται τοῦ ἀνθεῖν, οἱ Ἀθηναῖοι ἐτίμων τόν τε Διόνυσον καὶ τὴν τῶν ἀνθέων ὥρα, τὸ λαμπρὸν ἔαρ. Ἦγον δὲ ταύτην τὴν τοῦ ἔαρος ἑορτὴν ἀποσπένδοντες τῷ θεῷ ἐκ τοῦ νέου οἴνου καὶ πομπαῖς λαμπραῖς τε θυσίαις ἐπῄνουν τὸ τοῦ θεοῦ σωτήριον δῶρον καὶ τὸ τῆς φύσεως ἔξοχον κάλλος.*

**Πρᾶξον**

Περιβάλετε δὲ καὶ ὑμεῖς φιλότητι τὸ τῶν Ἀνθεστηρίων πνεῦμα μετέχοντες τῶν εἰαρινῶν ἑορτῶν καὶ πανηγύρεων. Εὔκαιρος γὰρ ὥρα τοὺς ὑμετέρους κήπους ἐπιμελεῖσθαι, τὰς οἰκίας παντοδαποῖς ἄνθεσι κοσμεῖν, πρὸς τὰς τῶν ἀνθέων ἱκανὰς ἐπιδείξεις ἰέναι. Ταύτην δὲ τὴν ὥραν ἄξιόν ἐστι διατρῖψαι εἰς τὴν φύσιν θαυμάζοντες τὸ ἄμετρον ταύτης κάλλος.

**Μάθε**

ἄνθος < anthology



## ΦΕΒΡΟΥΑΡΙΟΣ 02

| Κ | Δ | Τ | Τ | Π | Π | Σ |
|---|---|---|---|---|---|---|
| 28 | 29 | 30 | 31 | 1 | 2 | 3 |
| 4 | 5 | 6 | 7 | 8 | 9 Ἡμέρα Ἑλληνικῆς Γλώσσης | 10 |
| 11 | 12 | 13 | 14 | 15 | 16 | 17 |
| 18 | 19 | 20 | 21 | 22 | 23 | 24 |
| 25 | 26 | 27 | 28 | 29 | 1 | 2 |

PeopleCert

Ἔγνως;

*Τοῖς ἀρχαίοις χρόνοις, οἱ πιστοὶ συνέρρεον εἰς τὸ τοῦ ἐν Δελφοῖς ἱερὸν πευσόμενοι τί ἄμεινον σφίσιν ἔσται. Ἐκεῖ δέ, εἰς τὸν ὀμφαλὸν τῆς γῆς, ἡ Πυθία, ἡ τοῦ θεοῦ προφῆτις, ἐδίδου τοὺς χρησμοὺς τοῦ Φοίβου Ἀπόλλωνος. Οἱ Δελφοὶ οὐ μόνον τόπος προφητείας ἦν, ἀλλὰ σοφίας τε καὶ ἐνοράσεως.*

Πρᾶξον

Ἀρχομένου τούτου τοῦ μηνός, γένεσθε καὶ ὑμεῖς πιστοί, ὡς οἱ ἀρχαῖοι ἐκεῖνοι. Εἰς τοὺς Δελφοὺς ἔλθετε, ἵνα ἀπολαύσητε τὴν τῆς φύσεως εὐμορφίαν καὶ εὕρητε ἐπίπνοιαν πρὸς σπουδαίας πράξεις τῇ τοῦ θαυμασίου τούτου τόπου ἐνεργείᾳ. Ἔπειτα δὲ δυνατόν ἐστιν ὑμᾶς ἕπεσθαι τῇ σφετέρῃ ἀτραπῷ, ἣν μόνος ὁ Πύθιος θεός δύναται ὑμῖν δεικνύναι.

Μάθε

προφήτης < prophet

# Τὸ Μαντεῖον ἐν Δελφοῖς

## ΜΑΡΤΙΟΣ 03

| Κ | Δ | Τ | Τ | Π | Π | Σ |
|---|---|---|---|---|---|---|
| 25 | 26 | 27 | 28 | 29 | 1 | 2 |
| 3 | 4 | 5 | 6 | 7 | 8 | 9 |
| 10 | 11 | 12 | 13 | 14 | 15 | 16 |
| 17 | 18 | 19 | 20 | **21** Ἡμέρα Ποιήσεως | 22 | 23 |
| 24 | **25** Ἡμέρα Ἀνεξαρτησίας | 26 | **27** Ἡμέρα Θεάτρου | 28 | 29 | 30 |
| **31** Καθολικὸν Πάσχα | 1 | 2 | 3 | 4 | 5 | 6 |



PeopleCert

Ἔγνως;

*Τὰ Ὀλύμπια ἱερὰ ἦν πενταετηρικοὶ ἀγῶνες, οἳ ἐτελοῦντο ἐν Ὀλυμπίᾳ τῷ Διί. Μετεῖχον ἀθληταὶ ἐξ ἁπάσης τῆς Ἑλλάδος, οἵτινες ἐπεδείκνυον ἐπιτηδιότητα καὶ ῥώμην εἰς τὰ ἀγωνίσματα τοῦ δρόμου, τῆς πάλης, τοῦ παγκρατίου καὶ πολλῶν ἄλλων ἀθλημάτων. Τὸ ἔπαθλον οὐκ ἦν χρήματα, ἀλλὰ στέφανος ἐλαίας, ὃς κότινος ὠνομάζετο.*

Πρᾶξον

Δύνασθε δὲ καὶ ὑμεῖς ἐκκαλύψαι τὸν ἔνδον ὑμῶν κεκρυμμένον ἀθλητήν, τελοῦντες ἀγῶνας ὡς ἀρχαῖοι ἀθληταί. Καλοῖτε δ᾽ ἂν εἰς διαγωνισμὸν τοὺς σφετέρους φίλους, ἵνα ἀναδείξητε τὴν εὐγενῆ ἰδέαν τῆς ἁμίλλης καὶ τὸ ἀρχαῖον ἀθάνατον πνεῦμα τῶν ἀριστήων κούρων ὀλυμπιονικῶν.

Μάθε

ἆθλος < athlete

## ΑΠΡΙΛΙΟΣ 04

| Κ | Δ | Τ | Τ | Π | Π | Σ |
|---|---|---|---|---|---|---|
| 31 | 1 | 2 | 3 | 4 | 5 | 6 |
| 7 | 8 | 9 | 10 | 11 | 12 | 13 |
| 14 | 15 | 16 | 17 | 18 | 19 | 20 |
| 21 | 22 | 23 Ἡμέρα Ἀγγλικῆς Γλώσσης | 24 | 25 | 26 | 27 |
| 28 | 29 | 30 | 1 | 2 | 3 | 4 |

# Οἱ Ὀλυμπιακοὶ Ἀγῶνες ἄρχονται



PeopleCert

Ἔγνως;

*Ἐν τῷ Θαργηλιῶνι μηνί, οἱ Ἀθηναῖοι ἐπεδείκνυον τὴν ἀνυπέρβλητον αὐτῶν εὐγνωμοσύνην καὶ εὐλάβειαν τοῖς θεοῖς, ἀνατιθέμενοι τῷ Ἀπόλλωνι καὶ τῇ Ἀρτέμιδι τὰς ἀπαρχὰς τῶν καρπῶν. Ἄγοντες δὲ οἱ Ἀθηναῖοι τὰ Θαργήλια (ἱερὰ) ηὔχοντο τούτοις τοῖς θεοῖς γενέσθαι αἰτίους τῆς εὐημερίας αὐτῶν.*

Πρᾶξον

Ἐν τῷ Θαργηλιῶνι μηνί γένεσθε καὶ ὑμεῖς τῶν εἰαρινῶν πανηγύρεων μέτοχοι. Ἑορτάσατε μετὰ τῶν φίλων καὶ γεύσασθε τῶν οἴνων καὶ πάντων τῶν ἀγαθῶν, ἃ φέρει μετ´ εὐφροσύνης αὕτη ἡ εὐανθὴς ὥρα τοῦ γλυκέος ἔαρος πᾶσι τοῖς ἀνθρώποις.

Μάθε

σύμβολον < symbol

# ΜΑΙΟΣ 05

| Κ | Δ | Τ | Τ | Π | Π | Σ |
|---|---|---|---|---|---|---|
| 28 | 29 | 30 | 1 | 2 | 3 | 4 |
| **5** Ὀρθόδοξον Πάσχα | 6 | 7 | 8 | **9** Ἡμέρα Εὐρώπης | 10 | 11 |
| 12 | 13 | 14 | 15 | 16 | 17 | 18 |
| 19 | 20 | 21 | 22 | 23 | 24 | 25 |
| 26 | 27 | 28 | 29 | 30 | 31 | 1 |

# Τὰ Θαργήλια, τιμῆς ἕνεκα Ἀπόλλωνος & Ἀρτέμιδος



# Τά Ἀφροδίσια, ἡ ἑορτὴ τῆς ἀγάπης

**Ἔγνως;**

*Τὰ Ἀφροδίσια (ἱερὰ) ἐτελοῦντο τῇ Ἀφροδίτῃ. Ἡ Ἀφροδίτη ἦν θεὰ τοῦ ἔρωτος, τοῦ κάλλους καὶ τῆς εὐγονίας. Οἱ ἀρχαῖοι Ἕλληνες ἐτίμων ἐξόχως τὴν Ἀφροδίτην τελοῦντες λαμπρὰς πομπάς,πανηγύρεις, ἑορτὰς μετὰ οἰνοποσίας καὶ ἀγώνων χοροῦ. Πάντα δὲ ταῦτα ἔπαινος ἦν τῶν τοῦ βίου ἁγνῶν ἀπολαύσεων καὶ τῆς χαριέσσης ἀνανεώσεως τούτου, τῇ τῆς Ἀφροδίτης θαυμαστῇ ἐνεργείᾳ.*

**Πρᾶξον**

Δύναισθε δ΄ ἂν καὶ ὑμεῖς ἑλκύσαι πρὸς ὑμᾶς τὸ πνεῦμα τῆς πανηγύρεως ταύτης ποιοῦντες ἑορτὰς φιλίας, πολυχρονίους ἀναμνήσεις καὶ ἐπίρρωσιν τῶν φιλίων δεσμῶν. Βοηθήσαισθε δ΄ ἂν ἐθελουσίως τοῖς ἔχουσι χρείαν τινὰ ἢ ἔνδειαν. Προσέτι δ΄ ἂν ποιήσαιτε φιλανθρωπίνους δωρεὰς ἀνθρώποις πέραν τῶν ὑμετέρων φιλικῶν δεσμῶν.

**Μάθε**

μοῦσα < music

## ΙΟΥΝΙΟΣ 06

| Κ | Δ | Τ | Τ | Π | Π | Σ |
|---|---|---|---|---|---|---|
| 26 | 27 | 28 | 29 | 30 | 31 | 1 Ἡμέρα Γονέων |
| 2 | 3 | 4 | 5 | 6 | 7 | 8 |
| 9 | 10 | 11 | 12 | 13 | 14 | 15 |
| 16 | 17 | 18 | 19 | 20 | 21 | 22 |
| 23 | 24 | 25 | 26 | 27 | 28 | 29 |
| 30 | 1 | 2 | 3 | 4 | 5 | 6 |



PeopleCert

# Τὰ Παναθήναια, ἡ σπουδαία ἑορτὴ ἐν Ἀθήναις

**Ἔγνως;**

*Τὰ Παναθήναια ἦν ἡ σπουδαιοτέρα τῶν ἐν Ἀθήναις ἑορτῶν καὶ ἐτελεῖτο τῇ θεᾷ Ἀθηνᾷ. Πανηγύρεις, πομπαί, δραματικοί τε καὶ ἀθλητικοὶ ἀγῶνες ἐπεδείκνυον τὴν τῶν Ἀθηναίων εὐλάβειαν τῇ πολιούχῳ αὐτῶν θεᾷ. Τοῖς δὲ νικήσασι ἐδίδουν ἔλαιον ἐκ τῶν ἱερῶν μοριῶν.*

**Πρᾶξον**

Ἀνακαλύψατε δ᾽ αὖθις καὶ ὑμεῖς ταύτην τὴν μεγαλοπρεπεστάτην ἑορτήν, τὴν ἀλφηστικὴν ὑμῶν ἐπιτηδειότητα συνενοῦντες τῇ παιδεύσει. Δύναισθε δ᾽ ἂν ἐργαστήριόν τι ποιῆσαι χειροτεχνίας, κεραμικῆς ἢ καὶ γλυπτικῆς. Ἐὰν δὲ βούλησθε, ἐπιμελήθητε τῆς ὀργανώσεως ἑσπερίδων ἀφιερωμένων τῇ ἑλληνικῇ φιλοσοφίᾳ ἢ μυθολογίᾳ.

**Μάθε**

μυθολογία < mythology

## ΙΟΥΛΙΟΣ 07

| Κ | Δ | Τ | Τ | Π | Π | Σ |
|---|---|---|---|---|---|---|
| 30 | 1 | 2 | 3 | 4 | 5 | 6 |
| 7 | 8 | 9 | 10 | 11 | 12 | 13 |
| 14 | 15 | 16 | 17 | 18 | 19 | 20 |
| 21 | 22 | 23 | 24 | 25 | **26** Τελετὴ Ἐνάρξεως Ὀλυμπιακῶν Ἀγώνων | 27 |
| 28 | 29 | **30** Ἡμέρα Φιλίας | 31 | 1 | 2 | 3 |



# Τὰ Νέμεα, τιμῆς ἕνεκα Διὸς



Ἔγνως;

*Τὸν ἀγῶνα τῶν Νεμέων ὑφ΄ Ἡρακλέους τεθεῖσθαί φασιν ἐπὶ τῇ τοῦ λέοντος ἀναιρέσει καὶ ἀναθέσθαι τῷ Νεμεαίῳ Διί. Οἱ ἀγῶνες, ἱππικοί τε καὶ γυμνικοί, ἤγοντο ἐν Νεμέᾳ καὶ ἦσαν ἀγῶνες τριετηρικοί. Ὁ δὲ στέφανος τῶν νικητῶν ἐκ χλωρῶν ἐπλέκετο σελίνων.*

Πρᾶξον

Ἄξιον δ΄ ἐστὶν προκαλέσασθαι ἑαυτοὺς ἀθλητικοῖς ἀγῶσι καὶ ἀσκήσεσι. Δύνασθε οὖν διατιθέναι ἡμέραν τινὰ ἄθλων καὶ ἀσκήσεων ἐμφαίνουσαν τὰ συμβαίνοντα τοῖς τῶν ἀρχαίων ἀγῶσιν, ὡς δρόμον, πάλην, τόξον ἢ καὶ μουσικοὺς ἀγῶνας δηλοῦντας τὴν τῶν ἀρχαίων ἀγώνων ποικιλίαν, ἀποτίοντες τοὺς ἄθλους τοῦ Ἡρακλέους.

Μάθε

ἀγών < agony

## ΑΥΓΟΥΣΤΟΣ 08

| Κ | Δ | Τ | Τ | Π | Π | Σ |
|---|---|---|---|---|---|---|
| 28 | 29 | 30 | 31 | 1 | 2 | 3 |
| 4 | 5 | 6 | 7 | 8 | 9 | 10 |
| 11 | 12 | 13 | 14 | 15 | 16 | 17 |
| 18 | 19 Ἡμέρα Ἀνθρωπισμοῦ | 20 | 21 | 22 | 23 | 24 |
| 25 | 26 | 27 | 28 | 29 | 30 | 31 |

PeopleCert

# Τὰ Ἐλευσίνια Μυστήρια

**Ἔγνως;**

*Τοῦ δὲ μετοπώρου προσιόντος φραζόμεθα τὰ ἐν Ἐλευσῖνι Μυστήρια, τὴν τῇ Δήμητρι ἀνατιθεμένην ἐξαίρετον ἑορτήν, ἵνα πάντες οἱ μύσται μετεῖχον τῶν μυστικῶν τελετῶν, ὅπως κτήσωνται γνῶσιν περὶ τοῦ κύκλου τῆς ζωῆς, τοῦ θανάτου καὶ τῆς πνευματικῆς ἀναγεννήσεως.*

**Πρᾶξον**

Συμφώνως δὲ καὶ ὑμεῖς ταύτῃ τῇ ἑορτῇ καὶ τῇ ἐν Ἐλευσῖνι μυσταγωγίᾳ δύνασθε διατιθέναι ἑορτήν τινα τιμῶσαν τὴν δαψιλῆ παροχὴν δωρεῶν, παρατιθέμενοι δεῖπνα ἐπιχωρίοις ἀγαθοῖς πλεῖστας χάριτας εἰδότες τῇ φύσει διὰ τὴν τῶν ἀγαθῶν αὐτῆς δαψίλειαν, ἥντινα παρέχει συνδέουσα πάντας ἡμᾶς τοῖς προσήκουσι καὶ φίλοις.

**Μάθε**

μυστήριον < mystery

## ΣΕΠΤΕΜΒΡΙΟΣ 09

| Κ | Δ | Τ | Τ | Π | Π | Σ |
|---|---|---|---|---|---|---|
| 1 | 2 | 3 | 4 | 5 | 6 | 7 |
| 8 | 9 | 10 | 11 | 12 | 13 | 14 |
| 15 Ἡμέρα Δημοκρατίας | 16 | 17 | 18 | 19 | 20 | 21 |
| 22 | 23 | 24 | 25 | 26 | 27 | 28 |
| 29 | 30 | 1 | 2 | 3 | 4 | 5 |



# Τὰ Πυανέψια, ἡ γαστρονομικὴ ἑορτὴ

**Ἔγνως;**

*Τὰ Πυανέψια (ἱερὰ) ἦν σπουδαία ἑορτὴ τῶν Ἀθηναίων, ἣν ἀνέθηκε τῷ θεῷ Ἀπόλλωνι ὁ Θησεύς. Θάψας γὰρ τὸν πατέρα αὐτοῦ, Αἰγέα, τῷ ᾿Απόλλωνι τὴν εὐχὴν ἀπεδίδου τῇ ἑβδόμῃ τοῦ Πυανεψιῶνος ἱσταμένου. Τότε δὲ ἕψησις παντοδαπῶν ὀσπρίων ἐγένετο διὰ τὸ σωθέντας αὐτοὺς εἰς ταὐτὸ συμμεῖξαι τὰ περιόντα τῶν σιτίων, καὶ μίαν χύτραν κοινὴν ἑψήσαντας συνεστιαθῆναι καὶ συγκαταφαγεῖν ἀλλήλοις.*

**Πρᾶξον**

Διατίθεσθε οὖν καὶ ὑμεῖς, ἔνθα οἰκεῖτε, ἑορτὴν μαγειρικοῦ ἀγῶνος σὺν τοῖς προσήκουσι καὶ φίλοις. Οἱ μετέχοντες τοῦ ἀγῶνος καλὸν ἂν εἴη παρασκευάσαι σκευασίας ἐπιπνεομένας ἀπὸ τῶν ὑλικῶν, οἷς ἐχρῶντο οἱ ἀρχαῖοι, πυάνους, φασιόλους, ἀράκους, ἐρεβίνθους καὶ ἄλλα, ἵνα ποιήσωσι τὸ ἀρχαῖον «ἀμαμιθάδες».

**Μάθε**

γαστήρ < gastronomy

## ΟΚΤΩΒΡΙΟΣ 10

| Κ | Δ | Τ | Τ | Π | Π | Σ |
|---|---|---|---|---|---|---|
| 29 | 30 | 1 | 2 | 3 | 4 | 5 Ἡμέρα Διδασκάλων |
| 6 | 7 | 8 | 9 | 10 | 11 | 12 |
| 13 | 14 | 15 | 16 | 17 | 18 | 19 |
| 20 | 21 | 22 | 23 | 24 | 25 | 26 |
| 27 | 28 Ἡμέρα τοῦ ΟΧΙ | 29 | 30 | 31 | 1 | 2 |



PeopleCert

# Τὰ Λύκαια, ἡ ἑορτὴ τῆς φύσεως

**Ἔγνως;**

*Τὰ Λύκαια (ἱερὰ) ἦν παλαίφατός τις καὶ μυστηριακὴ ἑορτὴ ἀνατιθεμένη τῷ Λυκαίῳ Διί, ἐν τῇ Ἀρκαδίᾳ ἀγομένη, εἰς τὸ ὄρος Λύκαιον. Ἐν ταύτῃ τῇ ἑορτῇ ἐγίγνοντο θυσίαι καὶ πολλοὶ ἀγῶνες ἀνδρῶν τε καὶ παίδων, οἵτινες συνέδεον τοῖς ἀγωνιζομένοις μετὰ τῶν ἀδμήτων δυνάμεων τῆς φύσεως.*

**Πρᾶξον**

Δύναισθε δ᾽ ἂν καταφυγήν τινα ἐνθυμεῖσθαι εἰς τὴν ἀγρίαν φύσιν, ὥστε ἀνανεοῦσθαι τὸν δεσμὸν μετ᾽ αὐτῆς. Αἱρεῖσθε οὖν τόπον τινὰ ἐν τῇ ὑπαίθρῳ, ἵνα πορεύσησθε πρὸς περιπάτους καὶ διατρίψησθε ἐν τοῖς καταφύτοις τόποις ἀπολαύοντες τοῦ ζωογόνου τῆς φύσεως κάλλους.

**Μάθε**

φύσις < physical

## ΝΟΕΜΒΡΙΟΣ 11

| Κ | Δ | Τ | Τ | Π | Π | Σ |
|---|---|---|---|---|---|---|
| 27 | 28 | 29 | 30 | 31 | 1 | 2 |
| 3 | 4 | 5 | 6 | 7 | 8 | 9 |
| 10 | 11 | 12 | 13 | 14 | 15 | 16 |
| 17 | 18 | 19 | 20 | **21** Ἡμέρα Φιλοσοφίας | 22 | 23 |
| 24 | 25 | 26 | 27 | 28 | 29 | 30 |



PeopleCert

# Ἡ Εἰρεσιώνη, ὁ πρόγονος τοῦ δένδρου τῶν Χριστουγέννων

**Ἔγνως;**

*Ἡ εἰρεσιώνη, τῇ ἀρχαίᾳ Ἑλλάδι σύμβολον ἦν εὐημερίας καὶ ἀφθονίας. Κλάδος ἐλαίας ἦν ἀνεστεμμένος λευκῷ τε καὶ ἐρυθρῷ ἐρίῳ, καὶ ἔμπλεως καρπῶν παντοδαπῶν, ὡς σύκων, καρύων, καστάνων, ῥοῶν, κυδωνίων καὶ ἄλλων καταργμάτων. Οἱ παῖδες φέροντες ἐν χερσὶ τὴν εἰρεσιώνην ἐπορεύοντο πρὸς τὰς οἰκίας καὶ ᾖδον τὸ ᾆσμα, ὅπερ ἐκαλεῖτο εἰρεσιώνη, εὐχόμενοι εὐτυχίαν καὶ εὐθηνίαν ἀγαθῶν τοῖς ἐν τῷ οἴκῳ καὶ λαμβάνοντες ὄψα καὶ ποικίλας ὀπώρας.*

**Πρᾶξον**

Ποιήσατε οὖν καὶ ὑμεῖς τὴν ὑμετέραν εἰρεσιώνην κοσμοῦντες ἕνα κλάδον ἐλαίας λευκῷ τε καὶ ἐρυθρῷ ἐρίῳ, ξηροῖς καρποῖς καὶ μετοπωριναῖς ὀπώραις καὶ ἐξαρτήσατε τοῦτον τὸν κλάδον τῆς θύρας εὐχόμενοι εὐδαιμονίαν καὶ εὐφροσύνην τούτῳ τῷ ἐπερχομένῳ ἐνιαυτῷ.

**Μάθε**

ἐλαία < olive

## ΔΕΚΕΜΒΡΙΟΣ 12

| Κ | Δ | Τ | Τ | Π | Π | Σ |
|---|---|---|---|---|---|---|
| 1 | 2 | 3 | 4 | 5 | 6 | 7 |
| 8 | 9 | 10 | 11 | 12 | 13 | 14 |
| 15 | 16 | 17 | 18 | 19 | 20 | 21 |
| 22 | 23 | 24 | 25 Χριστούγεννα | 26 | 27 | 28 |
| 29 | 30 | 31 | 1 | 2 | 3 | 4 |



PeopleCert

Ὁ ὀργανισμός PeopleCert ἐστὶν ὁ παγκόσμιος ἡγεμὼν ἐν τῇ πιστοποιήσει τῶν ἐπαγγελματικῶν τε καὶ γλωσσικῶν δεξιοτήτων. Μετὰ τὸν σκοπὸν τοῦ διαφυλάττειν τὴν ἀρχαίαν Ἑλληνικὴν κληρονομίαν, ὁ ὀργανισμός PeopleCert ἐστὶν ὁ πρῶτος καὶ μόνος πάροχος τῶν πιστοποιήσεων περί τῶν ἀρχαίων Ἑλληνικῶν.

Ἀνακαλύψατε πλείονα

PeopleCert

peoplecert.org